Τὸ τὸν θεὸν δήπου καὶ τὸν πλησίον εἰλικρινῶς ἀγαπᾶσθαι. οὗτινος ὁ τοῦ δεκαλόγου εἰς δύο πλάκας διορισμὸς τῷ θεῷ ποιηθεὶς σύμβολόν ἐστιν. ἐν τῇ μὲν προτέρᾳ πλακὶ τρία τῶν πρὸς τὸ ἀγαπᾶν τὸν θεὸν, διδάσκεται. ἐν δὲ τῇ δευτέρᾳ ἑπτὰ εἰς τὸ τὸν πλησίον φιλεῖν φέροντα δηλοῦται.

*Πῶς αἱ τῆς πρώτης πλακὸς ἐντολαὶ τὴν ἀγάπην τοῦ θεοῦ διδάσκουσιν;*

Ὅτι μὲν τὰς ἁμαρτίας τὰς τῷ θεραπεύειν καὶ σέβεσθαι τὸν θεὸν ὡς μάλιστα ἐναντίας ἀναιροῦσι καὶ ἀπαγορεύουσιν. ἤγουν τὴν εἰδωλολατρείαν, τὴν ἀποστασίαν, τὴν αἵρεσιν, τὴν ἐπιορκίαν, τὰς δεισιδαιμονίας. Τὴν δὲ ἀληθῆ καὶ

tendum ferri debem9, ita vt nostris rebus contenti, absq; omni inuidia, æmulatione & cupiditate viuamus.

*Quæ summa, quisue finis præceptorum Decalogi?*

Nimirum, vt Deus & proximus syncere diligãtur, cuius rei symbolũ fuit in duas tabulas Decalogi à Deo facta distinctio. In priori quidem tabula tria docẽtur, quæ ad charitatẽ Dei: in secũda verò septẽ, quæ ad dilectionem proximi spectant, explicantur.

*Qua ratione præcepta primæ tabulæ charitatem Dei edocent?*

Quoniam tollunt & prohibent vitia cultui honoriq; Dei maximè contraria, idololatriam, apostasiam, hæresim, periurium, superstitiones: admonẽt autem verum purumq;

καθαρὰν θεραπείαν τοῦ θεοῦ τῷ σώματι, τῇ καρδίᾳ καὶ τῷ ἔργῳ παρέχεσθαι προστάττουσι. Τούτου γὰρ γινομένου, μόνος γε ὁ θεὸς ἀληθὴς τῇ λατρείᾳ θεραπεύεται καὶ προσκυνεῖται.

rumq; Dei cultum cor[de] ore ac opere fideliter [exhi]bendum esse. Quod vbi fit, vtiq; solus verus Deus cultu latriæ colitur & adoratur.

Πῶς αἱ τῆς δευτέρας πλακὸς ἐντολαὶ τὴν ἀγάπην τοῦ πλησίον δηλοῦσι;

*Quomodo præcepta secundæ tabulæ charitatem proximi explicant?*

Τῷ τὴν ὑπηρεσίαν ἡμῶν τὴν πρὸς τὸν πλησίον ἐφεξῆς περιέχειν· ἤγουν, ἵνα μὴ μόνον τοὺς πατέρας ἡμῶν διὰ τιμῆς ἄγωμεν, ἀλλὰ καὶ τῷ ἔργῳ, τῷ λόγῳ, τῷ θελήματι πάντας ὠφελεῖν, καὶ μηδένα βλάπτειν πειρώμεθα, εἴτε τὸ σῶμα τοῦ πλησίον, εἴτε τῶν Συζύγων, εἴτε τὰ τῆς τύχης σκοπεῖται.

Eo ipso, quod nostrum ergo proximum officium ordine complectuntur, videlicet vt nō solum majores honoremus, sed opere, verbis ac voluntate prodesse omnibus, & nocere nemini studeamus, siue corpus proximi, siue persona juncta cōjugio, siue bona fortunæ considerentur.

Τί ἐστι κεφάλαιον τῶν ἐντολῶν τοῦ ἀγαπᾶν τὸν πλησίον;

*Quæ summa est præceptorum de proximo diligendo?*

Τόδε δηλαδή, ὅτι οὐ θέλεις σοι ποιεῖσθαι, τῷ ἄλλῳ μὴ ποιήσῃς. πάντα δὲ ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. τοῦτο γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Hæc ipsa nimirum, quod tibi non vis fieri, alteri ne feceris. Omnia verò quæcunq; vultis, vt faciant vobis homines, & vos facite illis. Hæc est enim lex & Prophetæ.

Πότερον ἄλλα πλὴν τοῦ δεκαλόγου ἐντάλματα ὄντα τυγχάνει;

Παντάπασι μὲν οὖν, καὶ μὴ ὅτι χρήσιμα, ἀλλ᾽ ἀναγκαῖα τηρεῖσθαι, τὰ δήπου τῆς ἐκκλησίας ἐντάλματα, ἣ καθάπερ τῇ ἁγιωτάτῃ μητρὶ καὶ τοῦ Χριστοῦ νύμφῃ πάντας καθολικοὺς δεῖ πειθαρχεῖν, καὶ τὸν νοῦν προσέχειν.

Πόσα τὰ τῆς ἐκκλησίας ἐντάλματα;

Πέντε ἐξαίρετα ἀριθμεῖται.

α΄. Τὰς τῆς ἐκκλησίας ἑορτὰς τεταγμένας ἄγε.

β΄. Τὴν ἁγίαν λειτουργίαν ταῖς ἑορτασίμοις ἡμέραις εὐλαβῶς ἄκουε.

γ΄. Τὰς νηστείας ἐν διορισμέναις ἡμέραις ἐπαγγελθείσας, καὶ τὴν τῶν βρωμάτων τινῶν ἐγκράτειαν Συντήρει.

δ΄. Τὰς ἁμαρτίας Σου τῷ ἱερεῖ ἰδίῳ, ἢ ἄλλῳ σὺν ἐξουσίᾳ αὐτοῦ καθ᾽ ἐνιαυτὸν ἐξομολογοῦ.

ε΄. Τὴν πανάγιον εὐχαριστίαν τοὐλάχιστον ἅπαξ ἐν ἔτει περί γε τὴν τοῦ πάσχα ἑορτὴν λάμβανε.

*Suntne præter Decalogum alia pręcepta?*

Sunt vtique, nec solum vtiliter illa, verum etiã necessariò obseruanda, præsertim Ecclesiæ præcepta, cui veluti sanctissimæ matri, sponsæq; Christi aures & mentes præbere Catholici filij omnes debemus.

*Quot sunt pręcepta Ecclesię?*

Præcipua quinque numerantur.

1. Statutos Ecclesiæ festos dies celebrato.

2. Sacrum Missæ officiũ diebus festis reuerenter audito.

3. Indicta certis diebus jeiunia, & à quibusdam cibis abstinentiã obseruato.

4. Peccata tua sacerdoti proprio, aut alteri cum eius facultate singulis annis confitetor.

5. Sacrosanctam Eucharistiam, vt minimũ semel in anno, idq; circa festum Paschæ, sumito.

Ἡ δὲ τούτων τῶν παραγγελμάτων τή-
ρησις ὁποίαν ὄνησιν ἔχει;

Τάδε καὶ ὅσα ἄλλα τούτοις
ὅμοια τῆς ἐκκλησίας ἐπιτη-
δεύματα καὶ ἐντάλματα,
πρῶτον μὲν τὴν πίστιν, τὴν τα-
πείνωσιν, καὶ τὴν ὑπακοὴν τῶν
χριστιανῶν ἀσκεῖ. εἶτα τὰ
πρὸς τὸν θεὸν, τὴν πολιτείαν
καλὴν, καὶ τὴν δημοσίαν ἡσυ-
χίαν σώζει, διατηρεῖ, κοσμεῖ,
καὶ εἰς τὸ πρεπόντως καὶ εὐτά-
κτως πάντα ἐν τῇ ἐκκλησίᾳ
συντελεῖσθαι ὡς μάλιστα συμ-
βάλλεται, πρὸς δὲ τούτοις, ταῦ-
τα ἐξ ἀγάπης τηροῦντες, τῆς
ζωῆς αἰωνίου ἀξιούμεθα.

*Quem fructum affert horum
obseruatio præceptorũ?*

Hæc atq; id genus alia
Ecclesiæ tum instituta, tũ
præcepta, primum fidem,
humilitatem, & obedien-
tiam Christianam exercẽt:
deinde cultum diuinum,
honestam disciplinam, &
publicam tranquillitatem
alunt, conseruant & ornãt
eoq; mirificè conferunt,
vt decenter & ordine cun-
cta in Ecclesia peragantur,
præterquam quòd æternã
vitam meremur, si illa ex
charitate obseruemus.

## Κεφάλαιον τέταρτον,
## Περὶ τῶν μυστηρίων.

## CAPVT IV.
## DE SACRAMENTIS.

Τί ἐστι μυστήριον;

Τὸ τῆς ἀοράτου χάριτος
σύμβολον ὁρατὸν, εἰς ἁγια-
σμὸν ἡμῶν θεοπαράδοτον. Ἀλ-
λο μὲν γὰρ τὸ ἐν μυστηρίῳ ὁρώ-
μενον, ἄλλο τὸ λαμβανόμενον.
τὸ σύμβολον μὲν τὸ ἔξω ὁρῶ-
μεν, τὴν δὲ κρυφαίαν καὶ πνευ-
ματικὴν χάριν, τὴν τοῦ μυστη-

*Quid est Sacramentum?*

Est inuisibilis gratiæ si-
gnum visibile ad nostram
sanctificationem diuinitꝰ
institutum. Aliud est enim
quod in Sacramento vide-
mus, aliud quod in eo acci-
pimus. Signum videmus
externum: occultam verò

εἰς ἀποτέλεσμα καλοῦμεν. λαμβάνομεν...

& spirituale gratiam, quæ res dicitur Sacramenti, accipimus.

Πόσα ἐστὶ τὰ μυστήρια;

*Quot sunt Sacramenta?*

Ἑπτὰ τὰ, ὑπὸ τοῦ Χριστοῦ κυρίου συντεταγμένα, πρὸς τῶν Ἀποστόλων παραδεδομένα, καὶ ἐν τῇ ἐκκλησίᾳ καθολικῇ ἀεὶ διαφυλαχθέντα εἰς ἡμᾶς διέμεινε. Καὶ δὴ ταῦτά ἐστιν, ὁ βαπτισμὸς, ὁ σφραγισμὸς, ἡ εὐχαριστία, ἡ μετάνοια, ἡ τελευταία χρίσις, χειροτονία, ἡ σύζευξις.

Septem, quæ à Christo Domino instituta, ab Apostolis tradita, & in Ecclesia Catholica semper conseruata ad nos vsq; peruenerunt. Sunt autem hæc, Baptismus, Cõfirmatio, Eucharistia, Pœnitentia, Extrema vnctio, ordo, Matrimonium.

Τίνος ἕνεκα δεῖ τὰ μυστήρια σέβεσθαι καὶ πολυτιμητίζειν;

*Quare Sacramenta veneranda & summo in pretio habenda sunt?*

Πρῶτον μὲν ὅτι ὑπὸ τοῦ θεοῦ καὶ Χριστοῦ κυρίου ἐν καινῇ διαθήκῃ συννετάχθησαν. εἶτα ὅτι τὴν τοῦ θεοῦ χάριν ἀναγκαίαν καὶ ὡς ἀφθονωτάτην οὐ μόνον δηλοῦσιν, ἀλλὰ καὶ ὥσπερ σκεύη τινὰ ἅγια τοῦ θεϊκοῦ πνεύματος χωροῦσι, καὶ τοῖς νομίμως προσφερομένοις παρέχουσι. ἔτι δὲ, ὅτι τῶν ἁμαρτιῶν ἀλεξιφάρμακα ἢ θεῖα ἰάματα τοῦ Σαμαρείτου ἡμῶν ὄντα τυγχάνουσιν. εἰς τέλος ὅτι τοῖς ἀγαθοῖς τοῖς κεχαριτωμένοις

Primum quidem, quia à Deo & Christo Dño in lege noua instituta: Deinde quia gratiã Dei nobis necessariam eamq; vberrimã non modo significant, verùm etiam ceu vasa quædã sacra diuini Spiritus continent, & ritè suscipientib. conferunt; adhæc, quoniã aduersus peccatum præsẽtissima sunt remedia seu diuina medicamenta nostri Samaritani: postremò,

quia

τὴν χάριν διαφυλάττουσιν, αὐξάνουσι, καὶ πλείω ποιοῦσι.

### Διὰ τί αἱ τελεταὶ σεμναὶ καὶ ἐκκλησιαστικαὶ τοῖς μυστηρίοις προσπαραλαμβάνονται;

Πολλῶν δὴ καὶ μεγάλων αἰτιῶν ἕνεκα. Πρῶτον μὲν ὥστε τὴν τῶν μυστηρίων διακονίαν θεωροῦντας ἐπαναμνησθῆναι μηδὲν μὲν ἐνταῦθα τῶν βεβήλων, ἄρρητα δὲ καὶ τοῦ θεοῦ πλήρη τῶν μυστικῶν καὶ τὴν ἐξαίρετον εὐλάβειαν ἀπαιτοῦντα πράττεσθαι. ἔπειτα, ὅπως ἡ τῶν τοῖς μυστηρίοις πλησιαζόντων θεραπεία ἡ εἴσω αὐξηθῇ, ἣν ὁ θεὸς μάλιστα ἐπιποθῶν τυγχάνει, καὶ ἧσπερ ὡς σύμβολα, μαρτύρια καὶ ἀσκήματα αἱ τελεταί εἰσιν. ἔτι δὲ ἵνα οἱ διακονοῦντες τὰ μυστήρια σὺν ἀξίᾳ καὶ ὠφελείᾳ μείζονι τὴν διακονίαν αὐτῶν ἐπιτελέσωσι, τῶν ἐθῶν δήπου τῆς πάλαι ἐκκλησίας καὶ τῶν ἰχνῶν τῶν πατέρων ἁγίων πιστῶς ἐχόμενοι. Πρόδηλον γάρ ἐστιν ὅτι ἐξ αὐτῶν ἔτι ἀποστόλων τῶνδε τελετῶν πλεῖ-

quia bonis gratiam habẽtib. eam ipsam conseruant, augent & amplificant.

### *Cur Sacramentis ceremoniæ solennes & Ecclesiasticæ adhibentur?*

Multis profectò & grauibus de causis. Primùm, vt Sacramentorum administrationẽ spectantes admoneantur, nihil hic prophanum, sed arcana quędã & diuinis plena mysterijs geri, quæ singularem reuerentiã exigãt. Deinde, vt ad Sacramenta ipsa accedentibus cultum promoueãt interiorem, quem Deus præcipue postulat, & cuius veluti signa, testimonia & exercitia sint cerimoniæ. Præterea vt Sacramenta ministrantes maiori cum dignitate & fructu munus suum obeant, dum veteris Ecclesiæ institutis, sanctorumque Patrum vestigijs fideliter inhærent. Cõstat n. huiusmodi cerimonias plerasq; inde à tẽporib.

σαι ἀδιαλήπτῳ τῆς διαδοχῆς
εἱρμῷ εἰς ἡμᾶς ἐν τῇ ἐκκλη-
σίᾳ διέμειναν. τὸ τελευταῖον
ταῖσδε ἡ εὐσχήμων καὶ θεοσε-
βὴς πολιτεία ληρεῖται, ταῖσδε ἡ
πάνδημος ἡσυχία σώζεται,
ἣ πολλάκις τῇ τῶν θεσμῶν τῶν
ἔξω μεταβολῇ, ἢ καὶ καινοποιή-
σει δεινῶς διαταράττεται.

1 Τί ἐστιν ὁ βαπτισμός.

Τὸ πρῶτον καὶ ἀναγκαιέστα-
τον τῆς καινῆς διαθήκης μυστή-
ριον, τὸ ἅπαξ ἐν ὕδατι διδό-
μενον, ᾧπερ πνευματικῶς ἀνα
γενώμεθα, καὶ τῆς τῶν ἁμαρ-
τημάτων ἀφέσεως πλήρους
ἐπιτυχόντες, υἱοὶ τοῦ θεοῦ εἰς
ποιούμεθα, καὶ εἰς τοὺς τῆς ζωῆς
ἐπουρανίου κληρονόμους ἐγγρα-
φόμεθα.

Τί ἐστιν ὁ σφραγισμός,

Τὸ τοῖς βαπτισθεῖσι παρὰ
τοῦ ἐπισκόπου δωρηθὲν μυστή-
ριον, ἐν ᾧ δι ἁγίου χρίσμα-
τος καὶ τῶν ῥημάτων παναγί-
ων ἡ χάρις δίδοται, καὶ ἡ τοῦ
πνεύματος ἁγίου ῥώμη προ-
στίθεται, ἅμα μὲν εἰς τὸ βεβαί-
ως πιστεύειν, ἅμα δὲ εἰς τὸ ὄνο-
μα τοῦ κυρίου, ἀνάγκης γινομέ-
νης, παρρησιαστικῶς ὁμολογεῖσθαι.

Apostolorum, per conti-
nuam successionẽ ad nos
vsque in Ecclesia perseue-
rasse. His demum retine-
tur honesta religiosaq; di-
sciplina, his fouetur publi-
ca tranquillitas, quæ sæpe
rituum externorũ aut im-
mutatione, aut innouatio-
ne grauiter interturbatur.

*Quid est Baptismus?*

Primum maximeq; ne-
cessarium legis nouæ Sa-
cramentum, quod semel
in aqua confertur, quo spi-
ritualiter renascimur, &
peccatorum plena remis-
sione percepta, in filios
Dei adoptamur, hæredes-
que vitæ cœlestis adscri-
bimur.

*Quid est Confirmatio?*

Est baptizatis collatum
ab Episcopo Sacramentũ,
in quo per sanctum Chri-
sma, & verba sacrosancta
confertur gratia, & robur
spiritus additur, tum ad fir-
miter credendum, tum ad
nomen Domini, quando
sic est opus, liberè confité-
dum.

*Quot*

Πόσα τῆς περὶ εὐχαριστίας διδαχῆς προέχοντα κεφάλαια, ἃ εἰδέναι ἀνάγκη;

Πέντε· τὸ πρῶτον, ἡ ἀλήθεια αὐτῆς. τὸ δεύτερον, ἡ τοῦ ἄρτου καὶ τοῦ οἴνου εἰς τὸ τοῦ Χριστοῦ σῶμα καὶ αἷμα μεταποίησις· τὸ τρίτον, ἡ προσκύνησις προσήκουσα· τὸ πέμπτον καὶ ὕστατον, ἡ προσφορὰ αὐτῆς· τὸ πέμπτον καὶ ὕστατον, ἡ τοῦ αὐτοῦ μυστηρίου κοινωνία.

Τίς ἐστιν ἡ ἀλήθεια τοῦ τῆς εὐχαριστίας μυστηρίου;

Ἥδε δήπου, τὸν Χριστὸν ἀληθῆ θεὸν καὶ ἄνθρωπον ἀληθῶς καὶ τελείως ἐν τῷδε μυστηρίῳ χωρεῖσθαι, καὶ ἡμῖν παρεῖναι, τοῦ ἱερέως τοῦ νομίμως χειροτονηθέντος τὸν ἄρτον καὶ τὸν οἶνον τοῖς ῥήμασι τοῖς μυστικοῖς καὶ παρὰ τοῦ Χριστοῦ παραδεδομένοις εὐλογήσαντος.

Τί γίνεται μεταποίησις δι᾽ ἐκείνων ῥημάτων, οἷς ὁ ἱερεὺς τόδε μυστήριον εὐλογεῖ;

Αὕτη γε, ὅπως διὰ τῶνδε ῥημάτων, τοῦ Χριστοῦ ἐνεργοῦντος, ὁ ἄρτος καὶ οἶνος εἰς Σῶμα καὶ αἷμα κυριακὸν κατ᾽ οὐ-

*Quot sunt præcipua de Eucharistiæ doctrina capita scitu necessaria?*

Quinque: Primum est, eius veritas: Alterum est, panis & vini in Christi corpus & sanguinem conuersio: Tertium, adoratio debita: Quartum, eius oblatio: Quintum & postremum, eiusdem Sacramenti sumptio.

*Quæ est veritas Sacramenti Eucharistię?*

Nimirum hæc, Christũ verum DEVM ac hominem verè ac integrè in hoc Sacramento contineri, & nobi s adesse, vbi Sacerdos ritè ordinatus panem & vinum verbis illis arcanis, & à Christo traditis cõsecrârit.

*Quæ fit Conuersio per verba illa, quibus hoc Sacramentum Sacerdos consecrat?*

Ea, vt per ipsa verba, operãte Christo, panis & vinũ in corpus & sanguinem Dominicum cõuertantur,


ac

ὅταν μεταποιῶνται, καὶ οὕτως ὁ ἄρτος καὶ ὁ οἶνος ἐν τῇ εὐχαριστίᾳ οἴχωνται.

ac transſubſtantientur, atque ita panis & vinum eſſe deſinant in Euchariſtia.

Ποία προσκύνησις τούτῳ μυστηρίῳ προσήκει;

*Quæ Sacramento huic debetur adoratio?*

Ἡ αὐτὴ δηλονότι, ἡ τῷ Χριστῷ κυρίῳ καὶ θεῷ αἰωνίῳ προσήκουσα, ὅνπερ δὴ ὧδε παρόντα ἐπιγινώσκομεν. Καὶ διὰ τοῦτο εὐσεβεῖ τοῦ σώματός τε καὶ τῆς ψυχῆς θεραπείᾳ, ὡς εἰκὸς τόδε μυστήριον ἱκετεύοντες σεβόμεθα.

Eadem ſanè, quæ Chriſto Dño ac æterno Deo debetur, quippe quem illic præſentem agnoſcimus. Ideoq; religioſo cùm corporis, tum animi cultu, vt par eſt, hoc Sacramentum ſupplices veneramur.

Τίνος χάριν τοῦτο μυστήριον προσφορὰ νομίζεται;

*Quare cenſetur hoc Sacramentum oblatio?*

Ὅτι ἡ τῆς καινῆς διαθήκης θυσία καὶ προσφορὰ καθαρά ἐστι, ταῖς τοῦ νόμου Ἰουδαϊκοῦ θυσίαις αἱματώδεις ἀναίμακτος διαδεχομένη, καὶ ὑπὲρ τῶν ζώντων καὶ θανόντων πιστῶν τοῦ Χριστοῦ ἐν τῇ λειτουργίᾳ προσφερομένη καὶ συντελουμένη. Καὶ ὥσπερ μὴ μόνον ἡ εὐχαριστία ὑπὸ τοῦ λαοῦ πιστοῦ λαμβάνεται, ἀλλὰ καὶ ὑπὲρ τῶν ἁμαρτιῶν ὑπὸ τῶν ἱερέων εἰς τὴν τοῦ κυριακοῦ παθήματος καὶ θανάτου συνεχῆ ἀνάμνησιν καθ᾽ ἑκάστην θύεται, καὶ ἀεὶ ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ προσήχθη.

Quia eſt legis nouę ſacrificium & oblatio munda, cruentis legis Judaicæ ſacrificijs incruenta ſuccedens, quæ pro viuis ac defunctis christi fidelibus in Miſſa offertur ac celebratur. Vnde fit, vt Euchariſtia non ſolum à fideli populo ſumatur, ſed etiã pro peccatis à Sacerdotib. ad Dominicæ paſſionis ac mortis continuam cõmemorationem quotidie immoletur, ſemperque oblata fuerit in Eccleſia Dei.

Quid

Τί ἐν τῇ κοινωνίᾳ τούτου μυστηρίου χρὴ τηρεῖσθαι;

Τὸ τῇ πίστει καὶ τῇ αὐθεντίᾳ τῆς ἁγίας μητρὸς τῆς ἐκκλησίας διδασκόμενον, ἤγουν. τῷ τῶν Χριστιανῶν λαῷ ἀρκεῖν ἐν ἑνὶ εἴδει τοῦ ἄρτου τέλειον Χριστὸν λαμβάνειν, καὶ τὸ ταύτης τῆς κοινωνίας ἀκόλουθον, τὸν μὴ ἀναξίως προσφερόμενον τῆς παμμεγέθους χάριτος τοῦ θεοῦ καὶ τῆς ζωῆς αἰωνίου ἐπιτυχεῖν, ὃς ἀληθής τε καὶ ὁλόκληρος τούτου μυστηρίου καρπός ἐστι· καὶ τοσούτῳ ἐνεργέστερος γίνεται, ὅσῳ πλεονάκις ἥδε ἁγία καὶ σωτηριώδης κοινωνία κατ᾽ ἀξίαν ἀναλαμβάνεται.

Τί ἐστιν ἡ μετάνοια;

Ἡ δευτέρα μετὰ τὴν ναυαγίαν σανὶς, καὶ ἀναγκαῖον μυστήριον, τοῖς μεταπεσοῦσιν. ἐν ᾧ τῶν ἁμαρτιῶν ἄφεσις ὑπὸ τῶν ἐνόχων αἰτεῖται, καὶ παρὰ τῶν ἱερέων δωρεῖται.

Πόσα μέρη καὶ πράξεις τῆς μετανοίας;

Τρεῖς, ἡ σύντριψις, ἢ ἡ ἀλγηδὼν τῆς ψυχῆς τῆς τὰ αὐτῆς ἁμαρτήματα βδελυττομένης, καὶ τὸν βίον βελτίω οἰκονο-

*Quid in Sacramẽti huius sumtione seruandum?*

Quod fides & auctoritas sanctæ matris Ecclesiæ docet, videlicet, Christiano laico sat esse sub vna specię panis totum Christũ accipere, & ex hac sumptiõe consequi, vt qui non indignè accesserit, ingentẽ Dei gratiam, ac æternam quoque vitam obtineat, qui verus ac integer Sacramenti huius fructus existit: eoq; fit efficacior, quò sæpius sacra & salutaris illa communio dignè iteratur.

*Quid est Pœnitentia?*

Est secunda post naufragium tabula, & necessariũ relapsis Sacramentum, in quo remissio peccatorum, & à reis petitur, & à Sacerdotibus tribuitur.

*Quot sunt partes & actiones Pœnitentiæ?*

Tres, cõtritio vel dolor animi peccata sua detestãtis & ad vitam meliorem aspirantis. Confessio,

λόγησις, ἢ τῶν αὐτοῦ ἁμαρτιῶν ἐναντίον τοῦ ἱερέως ἐξήγησις, Τέλος δὲ ἡ ἱκανοποιΐα, ἡ τιμωρία καὶ κόλασις τῶν πλημμελιῶν παρ᾽ αὐτοῦ ληφθεῖσα, εἰς τὸ τοὺς καρποὺς ἱκανοὺς τῆς μετανοίας ποιεῖσθαι.

Τί ἡ τελευταία χρίσις;

Μυστήριον, ᾧ οἱ νοσοῦντες διὰ ἁγίου ἐλαίου καὶ τῶν ῥημάτων τοῦ Χριστοῦ ἐν δεινοῖς τῆς νόσου παθήμασι κουφίζονται, τοῦ εὐδαιμονέστερον αὐτοὺς τελευτῆσαι, καὶ τὰ σώματα, ἐὰν οὕτω συμφέρῃ, ἀναρρωσθῆναι.

Τί ἡ χειροτονία;

Μυστήριον, ᾧ τοῖς ἱερεῦσι καὶ τοῖς ἄλλοις τοῖς ἐκκλησίας λειτουργοῖς ἡ ἐξουσία ἐγχειρίζεται, τοῦ τὰς ὑπηρεσίας ἐκκλησιαστικὰς νομίμως καὶ πρεπόντως συντελέσαι.

Τί τὸ τελευταῖόν ἐστιν ἡ σύζευξις,

Μυστήριον, ἐν ᾧ ὁ ἀνὴρ καὶ ἡ γυνὴ κατὰ νόμους τὸν γάμον συνάπτοντες ἀδιαίρετον τὴν τοῦ βίου κοινωνίαν ποιοῦσι, καὶ τῆς χάριτος τοῦ θεοῦ ἐπιτυχεῖς γίνονται, ἵνα οἱ μὲν παῖδες καὶ

seu peccatorum suorũ coram Sacerdote facta explicatio: & satisfactio deniq; seu vindicta punitioq; criminum, de se ipso sumpta, ad præstandos fructus dignus pœnitentiæ.

*Quid extrema vnctio?*

Est Sacramentum, quo ægroti per oleum sacrum, & verba Christi in magnis morbi molestiis releuantur, vt felicius ex hoc mundo demigrent, & corpora etiam, si ita expedit, sanitati restituantur.

*Quid est Ordo?*

Est Sacramentum, quo Sacerdotibus alijsq; ministris Ecclesiæ potestas confertur ad Ecclesiastica munia ritè decenterque obeunda.

*Quid postremo est Matrimonium?*

Sacramentum, quo vir & mulier legitime contrahentes, indiuiduam vitæ societatem ineunt, gratiáque diuina donantur, tum vt soboles honestè & Christianè



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-588867-p0044-9

λῶς καὶ Χριστιανῶς γεννῶνταί τε καὶ ἐκτρέφωνται, τὸ δὲ τῆς αἰσχρᾶς ἀσελγείας καὶ ἀκρατείας ἁμάρτημα ἀπείργηται.

stianè suscipiatur ac educetur: tum vt fœdę libidinis & incontinentiæ peccatum euitetur.

Ἆρά γε τὰ μυστήρια ἀλλήλων διαφέρει;

*Estne inter Sacramenta discrimen?*

Πολὺ δήπου. ὁ γὰρ βαπτισμὸς, ὁ σφραγισμὸς, καὶ ἡ χειροτονία, ἅπαξ δωρηθέντα μηδεπώποτε ὁμοίως τοῖς ἄλλοις ἀναλαμβάνεται. ἔτι δὲ ὁ βαπτισμὸς πᾶσιν, ἡ εὐχαριστία τοῖς τῷ λόγῳ χρωμένοις, ἡ μετάνοια τοῖς μεταπεσοῦσιν ἀναγκαῖά ἐστιν. Αὐθαίρετον δὲ τὸ τοῖς ἄλλοις προσφέρεσθαι, εἰ μόνον μηδενὸς καταφρονεῖς, ἢ τῷ τοῦ χρῆσθαι αὐτοῖς χρόνῳ ἀμελεῖς.

Est sanè; Baptismus enim, Confirmatio & ordo semel collata, nunquam iterantur sicuti cætera. Item Baptismus necessariò suscipitur ab omnibus, Eucharistia à ratione vtentibus, & à relapsis pœnitentia. Arbitarium est autem vti reliquis, modo nullum contemnas, aut cùm illud sumendi tempus est, negligas.

## Κεφάλαιον πέμπτον.

## Περὶ τῶν κατορθωμάτων τῆς δικαιοσύνης τῶν Χριστιανῶν.

## CAPVT V.

## DE OFFICIIS JVSTITIAE CHRIstianæ.

Πόσα ἐστὶ τὸ κατορθώματα τῆς τῶν Χριστιανῶν δικαιοσύνης;

*Quot sunt officia iustitię Christianę?*

Τάδε δύο, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, ἢ κατόρθωμα τῆς δικαιοσύνης.

Hæc duo: Declina à malo siue peccato, & fac bonum, siue officium justitiæ



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-588867-p0045-5

Πῶς οἷός τε γίνεται ὁ ἄνθρωπος τὴν ἁμαρτίαν εὐλαβεῖσθαι, καὶ ποιῆσαι τὸ ἀγαθὸν, ἢ τὴν δικαιοσύνην ἀσκῆσαι;

*Qui poeſt homo cauere peccatum, & bonum facere ſeu præſtare iuſtitiam?*

Οὐ μὴν καθ᾽ ἑαυτὸν, ἀλλὰ τῇ τοῦ Χριστοῦ χάριτί τε καὶ πνεύματι ὁ Χριστιανὸς παρεσκευασμένος δύναται καὶ ὀφείλει (ἐφ᾽ ὅσον μὲν ἡ τοῦδε βίου κατάστασις συγχωρεῖ) δικαίως ζῆν, καὶ τὸν νόμον πληροῦν.

Non id per ſe quidem, ſed Chriſti gratia ac ſpiritu inſtructꝰ Chriſtianus poteſt ac debet, quantum huius quidem vitæ ſtatus admittit, iuſtè viuere, & legẽ implere.

Ποσαπλάσιον τὸ ἁμάρτημα;

*Quotuplex eſt peccatum?*

Διπλάσιον, συγγενικὸν καὶ πρακτικόν.

Duplex: originale, & actuale.

Τί τὸ συγγενικόν;

*Quid eſt originale?*

Ὅπερ ἐκ γενέσεως ἡμῖν συμπεφυκὸς διὰ τοῦ Βαπτισμοῦ ἐν Χριστῷ ἀφίεται.

Quod ab ortu nobis cõgenitum, per Baptiſmum in Chriſto condonatur.

Τί τὸ πρακτικόν;

*Quid eſt actuale:*

Ῥῆμα, πρᾶξις, ἢ ἐπιθυμία κατὰ τοῦ νόμου ἢ παρὰ τὸν νόμον τοῦ θεοῦ ἤτοι τῆς ἐκκλησίας.

Dictum, factum vel cõcupitum cõtra, vel præter legem Dei, aut Eccleſiæ.

Ποσαπλάσιόν ἐστι τὸ πρακτικόν;

*Quotuplex eſt actuale?*

Διπλάσιον τὸ θανάσιμον, οὕτω καλούμενον, ὅτι παραχρῆμα τὴν ψυχὴν θανατοῖ. ἡ γὰρ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐ-

Duplex: Mortale ſic dictum, quia mortem animę præſentem adfert: Anima enim quæ peccauerit, ipſa mori

τῇ ἀποθανεῖται. Καὶ τὸ συγγνωστὸν, τὸ δήπου ῥᾳδίως τῆς Συγγνώμης τυγχάνον, καὶ ἄνευ οὗ μηδὲ οἱ δίκαιοι διάγουσι.

morietur: Et veniale, vt cui venia facile tribuitur, & ſine quo ne iuſti quidem viuunt.

Πόσαις κλίμαξιν εἰς τὸ ἁμαρτάνειν ἐπαγόμεθα;

*Quibus gradibus ad peccatum deducimur?*

Ταῖσδε τρισί, τῇ ὑποβολῇ, τῇ τέρψει, τῇ συνευδοκήσει, ἢ τῷ ἐγνωσμένῳ θελήματι τοῦ ἁμαρτάνειν.

His tribus, ſuggeſtione, delectatione, cōſenſu, ſeu deliberata voluntate peccandi.

Τί τὸ ἄκρον τῶν ἁμαρτανόντων;

*Qui ſunt ſupremi gradus peccantium?*

Τὸ τοῦ εἰδότας καὶ ἑκόντας παντελεῖ πονηρίᾳ ἁμαρτάνειν, τῇ ἁμαρτίᾳ ἐπαυχεῖν, τοῖς εὖ νουθετοῦσιν, ἀπειθεῖν καὶ τὸ τῶν ἀγαθῶν βουλῶν καταφρονεῖν.

Eorum, qui ſcientes ac prudentes ex mera peccāt malitia: qui etiam de peccato ipſo gloriantur. & qui bene monentibus obſtrepunt, ac ſalutaria conſilia prorſus contemnunt.

Διὰ τί τὸ ἁμάρτημα φευκτέον;

*Quare peccatum fugiendum?*

Ὅτι κύριον τὸν Θεὸν λυπεῖ, τῶν ἀγαθῶν πέρας ἀφαιρεῖται, καὶ τὸ κάκιστον τῷ ἁμαρτάνοντι ἐπιφέρει. τὴν μὲν τοῦ θεοῦ ἀπόλαυσιν, ἣν οὐκ ἔχοι οἷόν τ' ἀναλαβεῖν, ἀφανίζον, τὰς δὲ τιμωρίας καὶ συμφορὰς ἀϊδίους τῷ ἀνθρώπῳ ἐπάγον.

Quia Dñm Deum offendit, ſummum bonum eripit, & ſummum affert malum peccanti, dum diuinā tollit fruitionem nunquā recuperandam, & pœnas ærumnasq; homini acceſſit ſempiternas.

Quæ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-588867-p0047-6

Τίνα λέγεται ἁμαρτήματα κεφαλικά;

Τάδε, ἐξ ὧν ὥσπερ κεφαλῶν καὶ πηγῶν πάντα τἄλλα ἁμαρτήματα γίνεται.

*Quæ dicuntur peccata Capitalia?*

Illa, ex quibus veluti capitibus & fontibus omnia alia peccata proficiscūtur.

Πόσα τὰ ἁμαρτήματα κεφαλικά;

Ἑπτὰ, ὑπερηφανία, πλεονεξία, ἀσέλγεια, φθόνος, γαστριμαργία, ὀργὴ, καὶ ἀκηδία.

*Quot sunt peccata capitalia?*

Septem: Superbia, auaritia, luxuria, inuidia, gula, ira, acedia.

Πῶς ταῦτα τὰ ἁμαρτήματα εὐλαβεῖσθαι καὶ νικᾶν ἐνδέχεται;

Εἰ τὴν αὐτῶν βλάβην τε, καὶ τοὺς κινδύνους κοποῦντες, καὶ τὰς ἀρετὰς ἁμαρτίαις ταύταις ἐναντίας ἀσκοῦντες τῇ τοῦ Χριστοῦ χάριτι συνεργοῦμεν.

*Qua ratione vitari & vinci hæc peccata possunt?*

Si Jesu Christi gratię cooperemur, peccatorū damna & pericula considerantes, & virtutes septem his peccatis contrarias exercentes.

Τίνες ἀρεταὶ τοῖς κεφαλικοῖς ἁμαρτήμασιν ἐναντιοῦνται;

Ἡ ταπεινότης, ἐλευθεριότης, ἁγνεία, χρηστότης, ἐγκράτεια, ὑπομονὴ, καὶ συνεχὴς θεοσέβεια.

*Quæ peccatis capitalibus aduersantur?*

Hæ septem: Humilitas, Largitas, Castitas, Benignitas, Temperantia, Patientia, Deuotio, seu sedula pietas.

Τίνα ἁμαρτήματα κατὰ τοῦ ἁγίου πνεύματος γίνεσθαι λέγεται;

Τὰ οὕτω τὴν τοῦ θεοῦ χά-

*Quæ peccata in Spiritum sanctum committi dicuntur?*

Ea quæ sua malitia sic di-

ριν τῇ πονηρίᾳ αὐτῶν ἀποκλείοντα, ὥστε μήτ' ἐν τούτῳ, μήτ' ἐν τῷ μέλλοντι αἰῶνι, εἰ μὴ πάνυ μόλις, ἀφεθῆναι.

Πόσα ἁμαρτήματα τὰ κατὰ τοῦ ἁγίου πνεύματος;

Ἕξ, πρόληψις περὶ τοῦ ἐλέους τοῦ θεοῦ, ἢ περὶ τῆς ἀδείας τοῦ ἁμαρτεῖν, ἀπόγνωσις, ἀντίλεξις πρὸς τὴν ἐγνωσμένην ἀλήθειαν, φθόνος τῆς φιλαδελφίας, σκληροκαρδία, καὶ ἀμετανόησις.

Τίνα ἁμαρτήματα εἰς τὸν οὐρανὸν ἀναβοᾶν λέγεται,

Τὰ καθ' ἑαυτὰ μάλα βδελυκτὰ καὶ φανερῶς τὰ τῆς φιλανθρωπίας δίκαια παραβαίνοντα, ὅθεν καὶ τὴν ἐκδίκησιν ἀναβοᾶν λέγεται, καὶ πολλάκις ἐν τῇδε ζωῇ φοβερῶς θεόθεν κολάζεται.

Πόσα ἁμαρτήματα εἰς τὸν οὐρανὸν ἀναβοῶντα;

Τάδε τέσσαρα, ἀνθρωποκτονία ἑκουσία, ἁμαρτία τῶν Σοδομιτῶν, κάκωσις τῶν πενήτων, χηρῶν, καὶ ὀρφανῶν, ἐπὶ τέλει, ὁ μισθὸς τῶν ἐργατῶν ἀποστερηθείς.

uinam excludũt gratiam, vt neq; in hoc ſeculo, niſi ægrè admodum, neque in futuro remittantur.

*Quot ſunt peccata in Spiritum ſanctum?*

Sex: Præſumptio de miſericordia Dei, vel de impunitate peccati, deſperatio, agnitæ veritatis impugnatio, fraternæ charitatis inuidentia, obſtinatio & impœnitentia.

*Quæ peccata in cœlum clamare dicuntur?*

Quæ per ſe vehementer abominanda ſunt, & apertè humanæ charitatis jura violant, vnde vindictam clamare perhibentur, & horrendis ſæpè modis in hac vita diuinitùs vindicantur.

*Quot ſunt peccata in cœlum clamantia?*

Hæc quatuor: Homicidium voluntarium, peccatum Sodomiticũ, oppreſſio pauperum, viduarum, atq; pupillorum, demum merces operariorum defraudata.

Quæ

Τίνα ἁμαρτήματα ἀλλότρια λέγεται;

*Quæ peccata dicuntur aliena?*

Τὰ μὲν τοῖς ἄλλοις πραττόμενα ἡμῖν δὲ τούτων αἰτίοις, ἢ ὁπωσοῦν Συνεργοῖς, ἤ γε δὴ οὐκ ἐμποδὼν γινομένοις, ἀνατιθέμενα.

Ea quæ ab aliis quidem committuntur, ſed nobis interim auctorib⁹, vel quo quo modo adiutorib⁹, aut ſaltem non impedientib⁹, vt id circo nobis etiam imputentur.

Ποσαχῶς τὰ ἁμαρτήματα ἀλλότρια ἡμῖν ἀνατίθεται;

*Quot modis aliena peccata nobis imputantur?*

Ἐννεαχῶς. Συμβουλίᾳ, ἐπιτάγματι, συγκαταθέσει, παρακλήσει, ἐπαινέσει ἢ κολακείᾳ, τῆς αἰτίας ἀλλοτρίας ἀποσιωπήσει, παροράσει, ἢ Συγχωρήσει τοῦ, ἀλλοτρίου μετοχῇ, τῆς πράξεως ἀλλοτρίας ἀπολογίᾳ κακῇ.

Nouem his modis; conſilio, iuſſione, conſenſu, irritatione, laudatione, ſeu adulatione, reticentia culpæ alienæ, conniuentia vel indulgentia, rei alienę participatione, & praua facti alieni defenſione.

Τίνα τῆς σαρκὸς ἔργα λέγεται;

*Quæ dicuntur opera carnis?*

Τὰ τῆς ἀνθρώποις τοῖς κατὰ τὴν Σάρκα ζῶσι, καὶ τῶν ὑῶν πνευματικῶν τοῦ θεοῦ ἐξαλλάττουσι πραττόμενα.

Ea quę homines ſecundum carnem viuentes, & à Dei filijs ſpiritualibus degenerantes, committere ſolent.

Τίνα τὰ τῆς Σαρκὸς ἔργα;

*Quot ſunt opera carnis?*

Ὁ Παῦλος οὕτως ἐξηγεῖται· Φανερά ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, μοιχεία,

Paulus ea recenſet in hunc modum: Manifeſta ſunt opera carnis, quę ſunt

πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρονομήσουσι.

Fornicatio, immunditia, impudicitia, luxuria, idolorum seruitus, veneficia, inimicitiæ, contentiones, æmulationes, iræ, rixæ, dissensiones, sectæ, inuidiæ, homicidia, ebrietates, cōmessationes, & his similia, quæ prædico vobis, sicut prædixi, quoniam qui talia agunt, regnum Dei non consequentur.

Πότερον τὸ κακὸν φεύγειν, καὶ τὴν ἁμαρτίαν ἐκκλίνειν τῷ χριστιανῷ ἐξαρκεῖ;

*Estne satis Christiano, malum fugere, & a peccato declinare?*

Μηδαμῶς, ἀλλὰ πρὸς τούτοις δεῖ τὸ καλὸν ποιεῖν, καὶ τὰς ἀρετὰς ἀσκεῖν. εἰ δὲ μήγε, τῷ εἰδότι καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστι.

Nequaquam, sed præterea bonum agere, & virtutes exercere necesse est. Alioqui scienti bonum, & non facienti, peccatum est illi.

Τί καλὸν δεῖ ποιεῖν τὸν Χριστιανόν;

*Quid boni faciendum est Christiano?*

Γενικῶς μὲν πᾶν ὅ, τι ὁ νόμος τῆς φύσεως, τοῦ θεοῦ, ἢ τῶν ἀνθρώπων προστάττει ἤτοι ἀποδείκνυσιν· εἰδικῶς δὲ χρὴ ἕκαστον κατὰ τὴν κλῆσιν αὐτοῦ τὰ δέοντα πράττειν, καὶ τῇ τοῦ θεοῦ χάριτι ληφθείσῃ εὐχαριστοῦντα συνεργεῖν. Πᾶν γὰρ δέν-

In genere qdē, quicquid boni lex naturalis, diuina vel humana pręcipit vel ōstēdit. In specie vero ꝑ suā quisq; vocatione præstare officium, & acceptæ Dei gratiæ cooperari cum gratiarum actione debet. O-

δρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.

Τίνα τῶν καλῶν ἔργων γένη ἔξοχα;

Τάδε οἷς σωφρόνως, δικαίως καὶ εὐσεβῶς ζῶσιν ἐν τῷ νυνὶ αἰῶνι, καὶ δι' ὧν ὡσαύτως οἱ δίκαιοι ἐπιπλεῖον δικαιοῦνται, καὶ οἱ ἅγιοι καθ' ἑκάστην ἁγιάζονται.

Πόσα πλάσια τάδε γένη τῶν ἔργων καλῶν;

Τριπλάσια, ἤγουν ἡ νηστεία καὶ ἐλεημοσύνη, καὶ ἡ εὐχή, περὶ ὧν οὕτως ἀναγινώσκοντες τυγχάνομεν· ἀγαθὸν προσευχὴ μετὰ νηστείας, καὶ ἐλεημοσύνης.

Τίς καρπὸς τῶν καλῶν ἔργων;

Τὴν τῆς ζωῆς τῆς νῦν, καὶ τῆς αἰωνίου ἐπαγγελίαν, καὶ μισθὸν ἔχουσι. τὸν θεὸν ἱλάσκουσι· τὴν χάριν διαφυλάττουσι καὶ αὐξάνουσιν· εἰς πλῆθος, τὴν τοῦ χριστιανοῦ κλῆσιν βεβαίαν ποιοῦσι, καὶ πληροῦσι.

Τί ἐστιν ἡ νηστεία;

Τὸ ἐν εἰρημέναις ἡμέραις κατ' ἔθος, καὶ ἐπιταγὴν τῆς

mnis enim arbor, quæ nõ facit fructum bonum, excidetur & in ignẽ mittetur

*Quæ sunt præcipua bonorum operum genera?*

Ea quibus sobriè, iustè, pieq́, viuitur in hoc sæculo, & per quæ itidem iusti magis magisq; iustificantur, & Sancti indies sanctificantur.

*Quotuplicia sunt hæc operum bonorum genera?*

Triplicia, vtpote jeiunium, Eleemosyna seu misericordia & oratio, de quibus ita legimus: Bona est oratio cum jeiunio & eleemosyna.

*Quis est fructus bonorum operum?*

Habent ea promissionẽ ac mercedem huius ac æternæ vitæ: Deum placãt: gratiam conseruant, & augent: deniq; Christiani hominis vocationem certam faciunt, atq; consummant.

*Quid est ieiunium?*

Est certis diebus juxta morem, & præscriptum



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-588867-p0052-4

ἐκκλησίας τῶν κρεῶν ἀπέχεσθαι, καὶ τῇ ἡμέρᾳ μόνον μιᾷ βρώσει ἀγαπῶντα ἐγκρατέστερον διάγειν· Τὸ δ' ὄνομα γενικῶς λαβόντι ἡ νηστεία ἐστὶ, τὸ τοῦ σώματος κόλασμα τὸ εὐσεβῶς ἀναληφθὲν, τοῦ τὴν σάρκα τῷ πνεύματι ὑποτάσσεσθαι, ἢ τὴν ὑπακοὴν ἀσκεῖσθαι ἢ τὴν τοῦ θεοῦ χάριν ἡμῖν παραγίνεσθαι.

Ecclesiæ carnibus abstinere, & saltem vnica sibi refectione in die contentum viuere frugalius. Sed si generatim hoc nomen accipias, ieiunium est corporis quædam castigatio piè suscepta, vt vel caro Spiritui subijciatur, vel obedientia exerceatur, vel Dei gratia impetretur.

Τί ἡ εὐχή;

*Quid est oratio?*

Ἡ τῆς ψυχῆς ἔπαρσις, δι' ἧς τὰ κακὰ ἀπευχόμεθα, ἢ τὰ ἀγαθὰ ἡμῖν, καὶ τοῖς ἄλλοις αἰτοῦμεν, ἢ τὸν θεὸν εὐλογοῦμεν.

Est mentis in Deum eleuatio, per quam vel mala deprecamur, vel bona nobis alijsque petimus, vel Deo benedicimus.

Τί ἐστιν ἡ ἐλεημοσύνη;

*Quid est Eleemosyna?*

Εὐεργέτημα, ᾧπερ τῷ ἄλλῳ ταλαιπωροῦντι συμπάσχοντες ἐπικουροῦμεν.

Est beneficium quo alterius miseriæ ex commiserationis affectu subuenimus.

Ποσαπλάσιόν ἐστι τὸ γένος τοῦ ἐλέους;

*Quotuplex genus est eleemosynæ seu misericordiæ?*

Διπλάσιον, τὰ μὲν γὰρ τοῦ ἐλέους ἔργα σωματικὰ, τὰ δὲ πνευματικὰ, ὅτι ἢ πρὸς τὸ τὴν ταλαιπωρίαν σωματικὴν, ἢ πνευματικὴν τοῦ πλησίον κουφίσαι φέρουσι.

Duplex, alia quippe sunt opera misericordiæ corporalia: alia verò spiritualia: quoniam vel ad corporalẽ vel ad spiritualem miseriã proximi subleuandam spectant.

Πόσα ἔργα σωματικὰ τοῦ ἐλέους;

Ἑπτά, Σιτίζειν πεινῶντας, ποτίζειν διψῶντας, περιβάλλειν γυμνούς, λυτροῦν αἰχμαλώτους, ἐπισκέψασθαι ἀσθενεῖς, συνάγειν ξένους, θάπτειν θανόντας.

Πόσα ἔργα πνευματικὰ τοῦ ἐλέους;

Καὶ τάδε ἑπτά ἐστιν. ἐλέγχειν ἁμαρτάνοντας, διδάσκειν ἀγνοοῦντας, εὖ συμβουλεύειν ἀπορούσι, προσεύχεσθαι τῷ θεῷ ὑπὲρ τῆς σωτηρίας τοῦ πλησίον, παρακαλεῖν λυπηρούς, καρτερεῖν τὰς ἀδικίας, συγγινώσκειν τὸ παράπτωμα.

Τίνες αἱ ἀρεταὶ πασῶν ἔξοχοι;

Μετὰ τὰς θεολογικὰς (περὶ ὧν προείρηται) τὴν πίστιν, τὴν ἐλπίδα, καὶ τὴν ἀγάπην, αἱ κεφαλαιώδεις προέχουσι, τοῖς Χριστιανοῖς μάλιστα πρέπουσαι.

Τίνες ἀρεταὶ κεφαλαιώδεις ὀνομάζονται;

Αἱ καθάπερ πηγαί, καὶ κεφάλαια πᾶσαν τὴν καλοκα-

*Quot sunt opera misericordiæ corporalia?*

Septem, esurientes pascere, potum dare sitientibus, operire nudos, captiuos redimere, ægrotos inuisere, hospitio peregrinos suscipere, mortuos sepelire.

*Quot sunt opera misericordiæ spiritualia?*

Sunt & ipsa septem: vti peccantes corrigere, ignorantes docere, dubitantib. recte consulere, pro salute proximi Deum orare, consolari mœstos, ferre patiēter iniurias, offensam remittere.

*Quæ sunt virtutes omnium præcipuæ?*

Post Theologicas quidē illas, de quibus dictum est: Fidem, & Spem, & Charitatem, præcipue sunt Cardinales, quæ Christianos cum primis decent.

*Quæ dicuntur cardinales virtutes?*

Quæ tanquam fontes aliarum & cardines omnē

γαθίαν κρατῆσαι.

Πόσαι εἰσὶν ἀρεταὶ κεφαλαιώδεις;

Τέσσαρες· φρόνησις, δικαιοσύνη, σωφροσύνη, ἀνδρεία, αἷς ὁ ἄνθρωπος ἐν Χριστῷ τοῦ φρονίμως, δικαίως, σωφρόνως, καὶ ἀνδρείως πάντα τὸν βίον διάγειν, καὶ τῷ θεῷ ἀρέσκειν, ἐφικνεῖται.

Τίνα δῶρα τοῦ ἁγίου πνεύματος λέγεται;

Τὰ ἑπτὰ τὰ ἐπὶ τὸν Χριστὸν τοῦ προφήτου μαρτυροῦντος ἀναπαυσάμενα, καὶ ἀπ᾽ αὐτοῦ ὡς πηγῆς πάσης χάριτος εἰς ἄλλους ἀπορρέοντα· ἤγουν τὸ δῶρον Σοφίας, συνέσεως, βουλῆς, γνώσεως, ἰσχύος, εὐσεβείας, καὶ φόβου θεοῦ.

Τίνες οἱ καρποὶ τοῦ πνεύματος καλούμενοι;

Οἵδε, οὓς εὐσεβεῖς κατὰ τὸ πνεῦμα ζῶντες ἐργάζονται, καὶ δι᾽ ὧν οἱ πνευματικοί, καὶ οἱ σαρκικοὶ διαγινώσκονται.

Τίνες οἱ τοῦ πνεύματος καρποί;

Τῷ Παύλῳ ἀποστόλῳ οὕτω καταλέγονται· ἀγάπη, χαρά,

honestæ vitæ rationē continent.

*Quot sunt virtutes cardinales?*

Quatuor, prudētia, iustitia, temperātia, fortitudo; quib⁹ in Christo consequitur homo, vt prouidè, iustè tēperatè ac fortiter in ōni vita degat, ac placeat DEO.

*Quæ dicuntur dona Spiritus Sancti?*

Septem illa quæ super Christum requieuisse Propheta testatur, & quæ ab ipso ceu fonte omnis gratiæ in alios deriuātur: vt donū sapientiæ, donum intellectus, consilij, scientiæ, fortitudinis, pietatis ac timoris Domini.

*Quænam illa, quæ fructus Spiritus vocantur?*

Ea quæ pij secundum Spiritum viuentes operantur, & per quæ spirituales à carnalibus dignoscūtur.

*Quot sunt fructus Spiritus?*

A Paulo Apostolo sic enumerantur, charitas, gau

εἰρήνη, ὑπομονὴ, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πραότης, πίστις, σωφροσύνη, ἐγκράτεια, ἁγνεία.

dium, pax, patientia, longanimitas, bonitas, benignitas, mansuetudo, fides modestia, continētia, castitas.

Τίνες μακαρισμοὶ εὐαγγελικοὶ λέγονται;

*Quæ dicuntur beatitudines Euangelicæ?*

Δι᾽ οὓς ἐν εὐαγγελίῳ ταλαίπωροι πάντως, καὶ ἀτυχεῖς δοκοῦντες, μακάριοι καὶ εὐδαίμονες ἀποφαίνονται.

Illæ, propter quas in Euangelio etiam hi qui miseri prorsus ac infelices vidētur, beati ac felices pronunciantur.

Πόσοι μακαρισμοὶ εὐαγγελικοί;

*Quot sunt Euangelica beatitudines?*

Ὀκτὼ, οὓς ὁ Χριστὸς ἐν τῷ ὄρει τοῦτον τρόπον ἐδίδαξε.

*Octo, quas ita Christus in monte tradidit.*

α΄. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

1. Beati pauperes spiritu, quoniam ipsorū est regnum cœlorum.

β΄. Μακάριοι οἱ πραεῖς· ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν

2. Beati mites, quoniam ipsi possidebunt terram.

γ΄. Μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακληθήσονται.

3. Beati qui lugent, quoniam ipsi consolabuntur.

δ΄. Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται

4. Beati qui esuriunt & sitiunt justitiam, quoniam ipsi saturabuntur.

ε΄. Μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθήσονται.

5. Beati misericordes, quoniam ipsi misericordiā consequentur.

Μακάριοι οἱ καθαροὶ τῇ

6. Beati mūdo corde quoniam

καρδίᾳ. ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

niam ipsi Deum videbunt.

ζ. Μακάριοι οἱ εἰρηνοποιοί ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.

7. Beati pacifici, quoniã filij Dei vocabuntur.

η. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

8. Beati qui persecutionem patiuntur propter iustitiam, quoniam ipsorum est regnum cœlorum.

Τίνες βουλαὶ εὐαγγελικαὶ καλοῦνται;

*Quæ dicuntur Euangelica consilia?*

Ἤγουν, ἅστινας διὰ εὐαγγελίου οὐ μὲν ὡς ἀναγκαίας τῇ σωτηρίᾳ, ἀλλ᾽ ὡς τοῖς ἀποδεχομένοις ἐπιτηδειοτέρας καὶ χρησιμωτέρας ὁ Χριστὸς οὐ μὲν ἐπιτάττων, συμβουλεύων δὲ προετέθη.

Videlicet quæ per Euangelium non tanquã ad salutẽ necessaria, sed veluti suscipientib᷒ magis expedita atque vtilia, à Christo non præcipiente quidem, sed consulente proponuntur.

Πόσαι βουλαὶ εὐαγγελικαί;

*Quot sunt Euangelica consilia?*

Τρεῖς ἔξοχοι, πενία δήπου ἑκουσία, ἁγνεία ἀΐδιος, καὶ ὑπακοὴ τελεία, ἡ διὰ τὸν θεὸν τῷ ἀνθρώπῳ εὐσεβῶς παρεχομένη.

Principalia tria sunt, nimirum paupertas voluntaria, castitas perpetua, & obediẽtia integra, quæ propter Deum homini religiosè exhibetur.

Τίνα τὰ τοῦ ἀνθρώπου ἔσχατα λέγεται;

Τὰ τῷ ἀνθρώπῳ τὸ τελευταῖον Συμβαίνοντα, οἷον ὁ θάνατος, ἡ κρίσις, ὁ ᾅδης, καὶ ἡ δόξα ἐπουράνιος, περὶ ὧν οὕτω ὁ Σοφὸς διδάσκει· ἐν πᾶσι λόγοις Σου μιμνήσκου τὰ ἔσχατά Σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

ΤΕΛΟΣ.

*Quæ hominis nouissima dicuntur?*

Ea quæ homini ad extremũ accidunt, vt mors, judicium, infernus, & cœlestis gloria, de quibus ita docet Sapiens: In omnibꝰ operibus tuis memorare nouissima tua, & in æternum non peccabis.

FINIS.

AB 154996

ULB Halle 3
002 420 97X

VD 17

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-588867-p0059-6

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-588867-p0060-8

3

ANISII.

# TATIS
# EOLOGI

MVS GRÆ-

INVS.

N GRATIAM STV-

*iusdam ex eadem So-*

*y editus.*

EIMII,

lanckenbergh.

. XX.